DISCORSO

DEL NOSTRO SANTO PADRE

PIETRO

VESCOVO DÌ ARGO

SUL CONCEPIMENTO DI S. ANNA

QUANDO CONCEPÌ LA SANTA MADRE DI DIO

Benedici Padre.

I. Lo spettacolo di grandi e straordinarî prodigî, annunziatori d'avvenimenti ancor più splendidi, come mi crea dentro nell' animo maraviglia e diletto insieme, così mi rapisce a contemplare la bontà divina verso di noi, e quella provvidenza, nella cui ampiezza va smarrita la vista d'ogni creato intelletto. Oggi [1]) ne appariscono i primi segni del nostro riconciliamento con Dio. Oggi [2]) si ravviva la nostra natura per appressarsi il tempo, che ricovererà l'antico posto di sua grandezza, ond'è miseramente caduta. Oggi gioiscono [3]) i progenitori dell' umana stirpe, poichè s'annullerà fra breve il decreto, che condannolli a tornare nell' abbiettezza della nativa lor polvere. Essi pure si rallegrano nell' intendere, che già in uno sterile suolo [4]) è germogliata quella vaghissima rosa, la quale per tutta la terra illuminata dal sole diffonderà la fra-

ὑψηλιῳ μελλον εὐωδιαζειν και της παραβασεως ἐλαυνειν το δυσωδες, εὐαγγελιζομενοι γηθονται. Νυν το καθαρωτατον ἀνακτορον του παμβασιλεως Χριστου θεμελιουμενον πασα ἡ κτισις ἐρωσα σκιρτᾳ χαριστηρια, και χειρας κροτει, και τῳ παντων αἰτιῳ των ἀγαθων εὐχαριστουσα γεραιρει θεῳ. Νυν ο θειος παραδεισος ἐν ἀνικμῳ νηδυι φυτευεταϊ, τους ἐκ του πρωτου ἐξορισθεντας ἡμας και θανατου κατακριθεντας προς ζωην δια του ἐξ αὐτου βλαστησειν μελλοντος ἐπαναξων ζωηφορου φυτου. Νυν του πνευματικου ἐαρος τα ἀνθη μυριζουσι, και την αὐτου προαγγελλουσιν εἰσοδον. Ναρδος, κροκος και κρινα κυπριζουσι, και την ἡδιστην ὀψιν προδεικνυντα τους ἐν τῃ κατηφειᾳ της ἁμαρτιας ἡμας κατατερπουσιν. Προεκοψε μετα της νυκτος της ἁμαρτιας ὁ κατηφειας πληρης χειμων, και ἠγγικεν μετα της ἡμερας της εὐσεβειας το χαριεστατον ἐαρ, και την ἀλεαν του θειου συνεπαγομενον πνευματος.

II. Ἀγαλλιασωμεθα τοινυν και ψαλμικως ἀλαλαξωμεν ἁπαντες, ὁρωντες την της ἡμετερας εὐγενειαν φυσεως ἀρχομενην ἐν τῃ γαστρι της Ἀννης φυτευεσθαι. Κροτησωμεν χειρας και πνευματικους χορους συστησωμεθα, της αἰτιας ἡμιν εὐφροσυνης ἁπασης και χαρας ἀνεκλαλητου προξενου γενησομενης ἑορταζοντες Συλληψιν. Ἀισωμεν συμφωνως τῳ θεῳ ἡμων, ᾀσωμεν ὡς την της ἡμετερας προξενον ἐλευθεριας των καταδουλωθεντων τῃ ἁμαρτιᾳ Παρθενον δια της Ἀννης και του Ἰωακειμ πλουτουντες παναμωμον δεσποιναν. Εἰπωμεν οὐν και ἡμεις ὡς ἐν ἐκπληξει μετα του θειου Δαβιδ· ὡς ἐμεγαλυνθη τα ἐργα σου, κυριε· παντα ἐν σοφιᾳ ἐποιησας. Τις γαρ αὐτου δυναστειας λαλησαι δυνησεται; ποιας δε και

granza e ogni fiatore [5]) ne sgombrerà dell'antica prevaricazione. Ora mirando tutte le creature [6]) porsi a Cristo le fondamenta d'un purissimo tempio, esultano in rendimenti di grazie e in festevoli applausi, e a Dio donatore d'ogni bene offrono un riconoscente tributo di adorazione e di lode. Nell' utero d'una infeconda è già posto [7]) un giardino celeste , ove sorgerà vivifica pianta a risuscitar noi, che cacciati dal terreno paradiso fummo dati in balìa e preda alla morte. Già i fiori d'una spirituale primavera [8]) soavemente olezzano e la sua venuta ne apportano. L'aspetto ridente del nardo, del croco e dei gigli ricrea gli occhi e l'animo a noi stati nel riarso e squallido deserto della colpa a grande sventura gittati. È trascorsa [9]) la notte del peccato fra la mestizia d'un disordinato verno, ed ora sorge il giorno della clemenza in compagnia d' una primavera lietissima, che i calori ne adduce del Santo Spirito.

II. Adunque tripudiamo tutti per eccesso di gioia e proromipiamo in cantici di giubilo, dacchè nel seno di Anna [10]) ha cominciamento l' eccelsa nobiltà della nostra natura. Facciamo plauso anche noi e meniamo spirituali danze a festeggiare la Concezione di Lei, che ne fu originamento d'ogni giocondità e d'inesplicabile gaudio apportatrice. Deh cantiamo, sì cantiamo inni a Dio, poichè per mezzo di Anna e di Gioacchino ci ha fatto dono [11]) dell' immacolatissima Signora e Vergine, la quale spezzerà le catene del nostro servaggio. E però levati quasi in estasi di stupore diciamo coll'ispirato Davidde : « Quanto magnifiche sono, o gran Dio, le opere vostre ! Veramente s' appalesa in tutte esse una infinita sapienza ». E chi potrà mai narrare i tesori della sua ricchezza ? Chi presumerà di misurare con potente sguardo gl' immisurabili abissi de' suoi giudizi ? Noi fummo bruttamente colpevoli , e dalla meritata sentenza di condannagione veniamo assoluti. Noi porgemmo docile orecchio al serpente insidiatore e autore d'ogni pessimo male, e tuttavia dal Creator

καρδιας πλατος των ἀνεξιχνιαστων αὐτου κριματων ἀναμετρησαι την ἀβυσσον; Οἱ προσκεκρουκοτες της καταδικης ἀπολυομεθα· οἱ τῳ ἀρχεκακῳ δαιμονι πεισθεντες δια του ὀφεως συμβουλευοντι, παρα του πλασαντος ἡμας δεσποτου, και παρακουσθεντες προλαμβανομεθα. Οἱ ἑκοντι του ἡμετερου τραχηλου τον αὐτου ζυγον ἀποῤῥιψαντες, και τῳ δυσμενει προσχωρησαντες, προς τον χρηστον ἐκεινον παλιν δια σπλαγχνα ἐλεους ὑποβαλλομεθα. Οἱ τα δυσοιστα των ἁμαρταδων φορτια ἑαυτους ἐπιφορτισαντες προς την ἀναπαυσιν προσκεκλημεθα.

Τουτων ἁπαντων ἀρχη και αἰτια ἡ παρουσα καθεστηκεν ἑορτη, και των ἀλλων ἁπαντων καθαπερ τις ἡλιου ἑωσφορος προανατελλουσα, και δι' ἑαυτης ἁπασας μηνυουσα.

Η'. Ἰωακειμ γαρ τις των ἐξοχων και μεγα παρ' Ἑβραιοις ἐχων το ὀνομα, ἐκ δαβιδικου φυλου κατογων το γενος, την της θειας χαριτος ἐπωνυμον Ἀνναν της αὐτης συγγενειας οὐσαν ἐκτησατο συνοικον. Οὐ γαρ ἐξην παρ' ἐκεινους ἐξ ἀλλης φυλης τας συζυγιας ἁρμοζεσθαι. Και δη της ἀρετης ὁμοτιμως και ὁμοψυχως ἀμφοτεροι ἐξασκησαντες οὐχ ἡττον θατερος θατερου παντας τους κατ' ἐκεινου καιρου ἐν ταυτῃ, ὁποσον οὐκ ἠν εἰπειν ῥαδιως, ὑπερηκοντισαν. Και τουτου σαφης τα μετα τον τοκον ἀποδειξις. Μονοι γαρ των ἀλλων ἁπαντων τοιουτῳ μυστηριῳ διακονησαι κατηξιωθησαν ὡς Θεου Μητρος χρηματισαι γεννητορες, και τουτου προγονοι της κατω γεννησεως. Ἀλλαγε καιπερ τοιουτοι προτερον ὀντες, ἀπαιδες κατηγον τον βιον, και την ἐκ τουτου λυπην συναυξουσαν παρ' ὁλον ἐσεκτηντο· ὡς των παρ' αὐτοις ἐπηγγελμενων ἐκ θεου ἀγαθων ὑπαρχοντος το κεφαλαιον ἐν τουτῳ ἐφυστερ ζοντες.

nostro c' è ripagata tanta dislealità colle carezze di stretta accoglienza. Egli per istinto della sua misericordia ci sottomette di nuovo il collo al soave giogo, che noi scotemmo superbi per darci in signoria di mortale nemico. Egli mirandoci oppressi dall'importevole carico delle malvagità, onde ci abbiamo gravate volontariamente le spalle, ne invita stanchi al riposo. Ora di questi e di tutti gli altri beni dobbiamo il principio la cagione ed il segno riconoscere 12) dalla odierna solennità, a quella somiglianza che uscendo l' aurora davanti al sole novello, tutta quanta annunzia la copia dei suoi splendori.

III. Imperciocchè 13) Gioacchino, uomo di chiara riputazione fra gli ebrei, e non meno nobile per lignaggio sortito dalla tribù di Davidde, ebbe a moglie Anna (che in nostra favella verrebbe a dir *Grazia*) del suo medesimo parentado; avvegnachè i matrimoni fra le differenti tribù fossero a quel popolo divietati. Adunque ambedue in istudio di virtù esercitandosi, e quasi in prova di bontà gareggiando, si levarono per altezza di merito più di quanto se ne possa dire sopra tutti gli uomini di quel tempo. Le cose seguite dopo il parto di Anna ne faranno indubitata testimonianza. Basta che soli essi fra tutti furono trovati degni di cooperare ai celesti segreti generando la madre di Dio, e quindi d' essere a Dio medesimo stretti per carne con intimo nodo di parentezza. Ma comecchè per lo innanzi santissimi e giusti fossero, pure non aveano figliuoli, e d' inconsolabile dolore si tribolavano per vedersi privi di quel bene, che reputavano grandissimo di tutte le divine promissioni.

IV. Ἐπει δε της καρ ἐκεινους φθασασης μεγαλης ἡμερας, ταυτην δε οἰμαι την Σκηνοπηγιαν εἰναι κατα τον Γορπιαιον τελουμενην, ἠτοι Σεπτεμβριον. Ἐδει δε παντας ἐκ πασων των φυλων κατα τον νομον ἐν Ἱεροσολυμοις ἀθροιζεσθαι· τρις του ἐτους τουτο προσταττοντος ἐν ταυτῃ τε και τῃ τεσσαρεσκαιδεκατῃ του πρωτου μηνος και τῃ πεντηκοστῃ, και δια τουτο καλουμενας μεγαλας, παντες κατα το ἐνον ε'ς τον θειον και περιωνυμον ἐκεινον νεων προσερχομενοι, δωρα τε προσεφερον τῳ θεῳ· Οὐ γαρ ὀφθησῃ κενος ἐναντιον μου· παρα ἐκεινου τουτοις ἐνομοθετειτο · ἀπαγων αὐτους το μη τινι σεβας ἡ ἀλλοτι προσφερειν των οὐκ ὀντων θεῳ, και μονῳ προσοικειοι ἑαυτῳ · Οὐκ γαρ των ημετερων ἐν χρειᾳ θεος, ὁ ἐκ μη ὀντων τα παντα παραγαγων · ἀλλ' ἡμων, ως πασης ἀγαθοτητος ὑπαρχων πηγη, την σωτηριαν ξητει.

V. Παντων τοινυν, ὡς ἐφην, κατα φυλας προσφεροντων τα δωρα θεῳ, παρην και το θειον ζευγος, Ἰωακειμ, φημι, και Ἀννα, της νομικης λατρειας το στηριγμα, και της εὐαγγελικης φιλοσοφιας το καυχημα · το της Ἰουδα φυλης εὐγενεστατον γνωρισμα, και του παντων δεσποτου Χριστου της κατα σαρκα γενεσεως περιφανεστατον, ὡς ἀρχη και αἰτιον, σεμνολογημα · το του Δαβιδ ἱερωτατον ἐγκαλλωπισμα, και της ἁπαντων ἡμων σωτηριας ἀστειοτατον γνωρισμα · και παρην, οὐκ αιρων κατα τους ἀλλους τον τενοντα, και μαλιστα τον Ῥουβιμ · οὐκ ἀνασπων τας ὀφρυς, και των ἀλλων πατεπαιρομενοι, και τα τουτων δωρα παραμετρουμενοι · αλλα ἠρεμα και ἡσυχῃ και προ των αἰσθητων καρδιαν συντετριμμενην και τεταπεινωμενην τῳ ταυτην μη ἐξουθενουντι προσαγοντες. Ἀλλ' ἀναιδως κατα προσωπον ὁ Ῥουβιμ ἀπαντᾳ, και τουτους ὡς ἀπαιδας κατονειδιζειν κα-

IV. S'appressava uno de' grandi giorni agli ebrei, cioè per quanto io ne conghietturo la festa dei tabernacoli, che nel mese di settembre (Γορπιαιον lo addimandavano) con religiosa cerimonia si celebrava. Tre volte l'anno per ordinamento della legge, doveano tutte quante le tribù convenire in Gerusalemme, nel giorno poc'anzi detto, nel dì quartodecimo del primo mese e nella Pentecoste, ondechè queste furono nominate festività grandi. Colà recandosi tutti ad adorare in quel maestoso e celebratissimo tempio porgevano le divote offerte, ciascuno secondo il poter suo e lo statuto della legge, che nullo colle mani vuote v'andasse: « *Non apparebis in conspectu meo vacuus* ». Nel che provvida cura di Dio era stata d'accostare il popolo strettamente a se ritraendolo dall'empio culto di bugiarde divinità; che nel resto non può il facitore del tutto arricchire de' nostri poveri doni, ma come fonte ch'egli è di bontà, largamente la versa in prò della nostra salute.

V. Ora nella solenne raunata di tutte le tribù si trovava quella rarissima coppia Gioacchino ed Anna saldezza della religione legale, splendore della filosofia evangelica, vanto illustre della tribù di Giuda, di Cristo Signore, secondo la generazione umana, onore bellissimo, di Davidde ornamento santissimo, della comune salute modello perfettissimo. Nè però era che a guisa degli altri e specialmente di Ruben si levasse in altura di mente, o portasse erto il capo, o accennasse disdegno colle ciglia, o ne andasse spiando coll'occhio e misurando la qualità e quantità delle offerte. Ma taciti in vista, in atto di compostissimo portamento, dedicarono a Dio giusto estimatore più che le materiali cose, il dono accettevole d'un cuore umiliato e compunto. Se non che lo svergognato Ruben ragguardando alla loro sterilezza con dispetto li accoglie e con villane parole li trafigge, fino a spregiarne i donativi quasi derrata vilissima di niun pregio. Tu dunque o Ruben avere animo e fronte da tanto?

ταθρασυνεται, και τα τουτων δωρα ως παρ' ἀξιαν ἐκκρουεται προσφερομενα.

Τι ταυτα πραττεις Ῥουβιμ; τι τους ἀναιτιους, ὁ πολλων αἰτιος ἀπηχεστατων θρασεως γραφειν αἰτιας κατατολμας; τις ὑπερ ὡν οὐ πεφυκε πραττειν εὐθυνεται; τις θεου προσταττοντος ἀντιςηναι δεδυνηται, και προς κεντρα λακτιζειν καταθρασυνεται; Που θεον ἀπαιδας ἠκουσας ἀποστρεφεσθαι; οὐ τον Ἀβελ τα δωρα προσφεροντα προσεδεξατο ἀπαιδα; οὐ τον Ἀβρααμ και την Σαῤῥαν εὐλογησεν ἀπαιδας; οὐ την Ἀνναν της Φενανης ἀντιθετον προσευχομενην, ὑστερον ὑπηκουσε τυγχανουσαν ἀπαιδα; Τον δεμεγαν Ἡλιαν και τον Ἐλισσαιον ποτε τεκνογονησαντας προσευχομενων ὑπηκουε, και τας ταρ αὐτων προσαγομενας θυσιας ἀπειροις ἐδοξασε θαυμασιν; Ἡ οὐδε Ζαχαριαν ὁμολογησεις ἀποδεκτεον ειναι προσφεροντα, και δια τουτο ἀρχιερεα γινομενον και τα των ἀλλων δωρα δεχομενον και τῳ δεσποτῃ προσαγοντα; Ἀλλως δε ἱερεως ἀντικρυς τα τοιαυτα κρινειν, οὐχι σου του την πατρωαν εὐνην ὑβρισαντος· Λευϊ τουτο το γερας δεδωκε Μωσης οὐχι σοι, μαλλον δε δἰ ἐκεινου Θεος· Πως οὐ φριττεις του ἱερατικου και βασιλικου γενους κατεξανιστασθαι;

VI. Μη γαρ εὐλογων ὑμας ὁ Πατριαρχης, ἡ προλεγων τα μελλοντα ὑμιν ἀπαντησασθαι, σε και τους αδελφους αινεσειν προηγγειλεν και παντας τους ἐχθρους ἡττησειν προανεφωνησεν; Ἰουδᾳ τουτο το γερας ἀπενειμεν, σου δε και την πραξιν πικρως ἐστηλιτευσεν, και ἡττονα των ἀλλων φυλων απηφηνεν ἐσεσθαι· Εξ ἐκεινου δε και το ἀποκεκρυμμενον ἐπ' ἐσχατου των ἐθνων προσδοκιαν τον κυριον ἡμων Ἰησουν Χριστον. Οὐ μην ἀλλα και τον χρονον καθ' ὁν τοις ἐν σκοτει και σκιᾳ θανατου καθημενοις ἡμιν, ὁ μεγας της

Tu contaminato di molte laidità vituperare insolentemente coloro, ai quali tu certo non sapresti apporre veruna macchia? S' udì egli mai che ad alcuno fosse dato rimprovero o carico di ciò che gli negò la natura? Ovvero sarà uomo al mondo sì temerario, che presuma d' opporsi al divino volere, o sì dissennato che s'affanni di calcitrare contro lo stimolo? Oh sì che tu avrai sentito a dire alcuna volta, aver Dio ributtato dalla sua faccia quelli che non ingenerarono mai figliuoli. Ma non gradì egli i doni elettissimi di un Abele, quantunque celibe? Non prosperò egli d'ogni benedizione un Abramo e una Sara, quantunque infecondi? Non ascoltò egli le preghiere di quell'Anna lungamente sterile, e perciò divenuta lo strazio di una Fenenna? Il grand' Elia ed Eliseo non si curarono punto di prole, e nondimeno il cielo favoreggiò le loro suppliche e i sacrificî ratificò con portenti. In fine dovrai confessare tu stesso, che non fu scemo di merito in un Zaccaria o l' ufficio di sacerdote nello scannar vittime, o l' onor di pontefice nell' accogliere e consecrar sull'altare le solenni oblazioni del popolo. Oltre di che al sacerdote s' appartiene l' essere conoscitore di siffatte cause: Mosè o più veramente Iddio per Mosè non ordinò, o Levi, che tu di quest' ufficio t' inframmettessi.

VI. È certo allora che il Patriarca Giacobbe si fece in sul morire a benedirvi tutti, con mirabile chiarità le future cose antiveggendo non significò già che tu e i tuoi fratelli sareste stati poderosi in armi e nei trionfi di sbaragliati eserciti e di vinti nemici gloriati. Al solo Giuda attribuì una lode sì bella, ed insieme il tuo delitto sugellò acerbamente con impronta indelebile d' ignominia, pronunziando che la minima delle tribù sarebbe la tua. Egli predisse che nei tardi secoli uscirebbe di Giuda l' ascoso mistero, cioè Cristo Signor nostro, aspettazione di tutte le genti. Egli predisse sino al tempo che i seduti nelle tenebre e nel buio di morte sarebbero dal sole di giusti-

δικαιοσυνης ἐπιφανησεται ἡλιος, εἰρηκως· οὐκ ἐκλειψει ἀρχων ἐξ Ἰουδα οὐδε ἡγουμενος ἐκ των μηρων αὐτου, ἑως ἀν ἐλθῃ ᾧ ἀποκειται, και αὐτος προσδοκια ἐθνων. Προλεγει και τουτου το παθος, το πασιν ἀπαθειαν πρυτανευσαν, και ἀθανασιας προξενον θανατον καταλυσαντα θανατον. Ἀναπεσων, φησι, ὡς λεων ἐκοιμηθη· τις ἐγερει αὐτον; Και, πλυνει ἐν οἰνῳ την στολην αὐτου, και ἐν αἱματι σταφυλης την περιβολην αὐτου. Εἰτα το της ἀναστασεως χαριεστατον· Χαριοποιοι οἱ ὀφθαλμοι αὐτου ἀπο οἰνου, και λευκοι οι ὀδοντες αὐτου μαλλον ἠ γαλα. Και παλιν το του κηρυγματος αὐτου ἐνεργεστατον· δεσμευων προς ἀμπελον τον πωλον αὐτου, τῳ των ἀποστολων κηρυγματι τα ἐθνη παρασκευαζων ἀκολουθειν· και τῃ ἑλικι της ἀμπελου την ὀνον αὐτου· οὐ γαρ τοι μονοις τοις ἐθνεσιν ἀλλα και Ἰουδαιοις οἱ θειοι μυσταγωγοι, και τουτοις γε πρωτοις το σωτηριον διεπορθμευσαν κηρυγμα.

VII. Τι οὐν ἡ θεοχαριτωτος και ἁγια ἐκεινη δυας, Ἀννα, φημι, και Ἰωακειμ ἀντιτιθεασι ταις ἀγερωχιαις του ἀδικουντος τας ἰδιας εὐλογους αἰτιας; και συνιστασθαι ἑαυτους κρειττον ἐκεινου σπουδαζουσι, πολλα τα εἰς τουτο συντεινοντα ἐχοντες εὐλογα; Μηδαμως· ἀλλα δριμειαις και πικροταταις την καρδιαν ὀδυναις κατατιτρωσκονται, οὐ τοσουτον δια τον ἐλεγχον, ὁσον δια το ἀπροσδεκτα μειναι τα δωρα, και την ἐκ θεου κατα το φαινομενον ἀποσοβησιν· ἡσυχῃ δ' ὁμως και πραεως στενοντες και δακρυοντες ὑποστρεφουσιν οἰκαδε· ἠδη γαρ αὐτοις το του κατα σαρκα ἀπογονου Χριστου κατηυγαζε θελημα· Ὁς λοιδορουμενος οὐκ ἀντιλοιδορει, πασχων οὐκ ἠπειλει. Οὑ και δια Ἡσαΐου βοωντος προτερον ἠκουον. Επι τινα ἐπιβλεψω, ἀλλ' ἡ ἐπι τον πρᾳον και ἡσυχιον και τρεμοντα τους λογους μου;

zia illuminati: « *Non deficiet princeps a Iuda et dux de femoribus ejus, donec veniat cui reposita sunt, et ipse erit expectatio gentium.* » Egli la sua passione predisse, che noi renderebbe impassibili, e la morte sua che la morte annientando conquisterebbe a noi la immortalità; « *Recumbens dormiit ut leo, quis suscitabit eum?* » Di lui con isfolgorante bellezza e novella vita risorto parlano quei detti: « *Venusti a vino oculi eius et dentes eius lacte candidiores.* » Di lui tutto in opera d' efficasissima virtù nel propagamento della sua dottrina quegli altri; « *Alligans ad vitem pullum suum* », ciò che allora specialmente s'avverò quando docili le genti trassero dietro alla predicazione degli Apostoli; « *Et ad helicem vitis asinam suam* » poichè non fra la sola gentilità, ma eziandio fra gli ebrei e innanzi a ogni altro fra loro quei divini banditori la salutare sapienza divulgarono del Vangelo.

VII. Ma per tornare là donde sono partito, che rispondono i santissimi Gioacchino ed Anna alla immodestia di quell'insolente, che di villani modi li proverbia in sul viso contro ogni dirittura ed equità di ragione? Forse per non si lasciar soperchiare, pigliano a contenderla seco adoperando argomenti a difensione propria, che non ammettano ripugnanza? Tutt'altro. Si rinfresca in essi e inasprisce vie maggiormente la ferita nella parte più a dentro dell'anima, non per la ricevuta ingiuria, ma perchè temono non forse le loro offerte sieno spiacenti a Dio, in tanto ch' Ei non le degni nemmen d'un guardo. Quindi col capo chino e sospirosi e piagnenti tornano a casa. E Cristo che della lor prole avea da nascere, già colla luce li rischiarava dell'esempio suo: « *Qui cum malediceretur, non maledicebat, cum pateretur, non comminabatur.* » Ed eglino aveano a mente il divino detto pronunziato per bocca d' Isaia: « *Ad quem respiciam, nisi ad mitem et quietum et trementem sermones meos?* »

VIII. Ἐπειδὴ ὑπεστρεψαν, ὁλους προς θεον ἑαυτους ἐπιστρεφουσιν, και παντα λιποντες, ἑν τουτο και μονον αἰτουσι παιδα τουτοις χαρισασθαι· ὑπομιμνησκοντες αὐτον, ὁσα παραδοξως πεποιηκεν ἐξ ἀρχης· ὁσους την στειρωσιν λυσας παιδων πατερας ὀφθηναι πεποιηκεν· ὁσους ἀπογνωσθεντας δια το εἰς ἐσχατον γηρας ἐληλακεναι παρ᾽ ἐλπιδας τεκνογονιας παρεσχετο· ὁπος ἐξ ὀδυνηρας τινας και κατηφους διαθεσεως προς εὐφροσυνης μετηγαγε βιον και θυμηδιας ἀναπλεων.

IX. Οὑτω νυκτι και ἡμερᾳ τῳ της δεησεως των δικαιων θεῳ εἰσακουοντι ἀδιαλειπτως μετανηστειων και πασης εὐποιας, ταις ἀνενδοτοις σχολαζουσι προσευχαις· και προστιθεασιν· ὡς εἰ του αἰτουμενου τυχοιεν προσαξωσι δωρον τῳ δεδωκοτι θεῳ. Εἰσηκουσεν ὁ θελημα των φοβουμενων αὐτων ποιων· και της δεησεως αὐτων εἰσακουων θεος, ὁ τοις ἐν ἀληθειᾳ ἐπικαλουμενοις αὐτον ἐγγιζων, και δη οὐχ ἁπλως γονεις, ἀλλ᾽ ἁπαντων ὑπερεχοντας δεικνυσι. Ὁσῳ γαρ των ἀλλων παιδων ἡ τουτων ἀσυγκριτως ὑπερανεστηκεν, τοσουτῳ των γεννητορων ἁπαντων οὑτοι γνωριζονται προυχοντες. Ἐπει γαρ ἐδεηθημεν θεου σαρκουμενου δια την ἁμαρτιαν θανατῳ κατακριθεντες και τῃ φθορᾳ ἐδει δε την το τοιουτον διακονησασαν κρειττονα παντων ἀνθρωπων ὑπαρχειν εἰς καθαροτητα, ὡς γενησομενην, ὢ του θαυματος, μητερα θεου· ἐδει παντως και τους ταυτης γεννητορας Θεοτοκου των ἀλλων εἶναι κρειττονας, ὡς θεου του ἐξ αὐτης τεχθησομενου προπατορας· οὐ γαρ ἀλλου ἐξην

VIII. Imperò ridottisi in casa, e messe dall'un lato tutte le altre cure, si rivolgono a Dio ferventemente, chiedendogli in conto di singolar grazia un figliuolo: bene ricordar Egli le meraviglie da se a beneficio di molti operate; avere in altri emendato ogni vizio d'infecondità e fattili padri di bella figliolanza; ad altri aver fuor d'espettazione donato la generativa virtù in quella tarda età, che mezzo morta per sè è inabile a dare la vita altrui; e in somigliante guisa moltissimi vivuti lungo tempo angosciosi ed afflitti, essere stati renduti sua mercè lieti e consolati.

IX. Così macerandosi con digiuni e in sante operazioni intesi, seguitano dì e notte di porgere caldi voti al Signore sempre inchinato alle suppliche dei giusti: e per soprappiù si obbligano, checchè riceveranno in dono da esso cortesemente, di restituirglielo liberamente in dono. Furono dunque esauditi da quello, che « *voluntatem timentium se facit et appropinquant ad se in veritate* », ed esauditi furon di modo, che per la nobiltà della prole ottenuta giunsero a collocarsi nel più elevatissimo seggio di dignità e di gloria. Imperocchè quanto la loro figliuola avanza con incomparabile eccesso la condizione di quanti furono o saranno generati dell'uman seme, altrettanto diremo che Gioacchino ed Anna si levano per eccellenza sopra la condizione di quanti mai generarono o in avvenire genereranno. E nel vero [14]) dacchè alla espiazione della colpa, e alla liberazione dalla corruzion nostra e dalla morte meritataci per la colpa, si richiedeva l'Incarnazione del Verbo, com'era necessario che l'eletta al ministero di sì grand'opera non avesse tra'mortali chi la pareggiasse in purezza, dovendo con inusitato prodigio divenir Madre di Dio, così era convenevole, che vantaggiassero tutt' i mortali in isquisitezza di santità gli eletti a genitori di Lei, dovendo avere per Lei una intrinseca propinquità con Dio. E brevemente nè altri genitori s'avevano

ἡ ταυτης εἰναι πατερας ἐκεινους, οὐδε ταυτην ἀλλων θυγατερα ἡ ἐκεινων ὀνομασθηναι.

X. Δια τουτο χαρας τα συμπαντα γεγηθε σημερον και ἡ φυσις χαριστηριους προσφερει φωνας τῳ θεῳ. Εὐχαριστω σοι, δεσποτα, ὁτι με στειραν οὐσαν και ἀγονον προς τεκνογονιαν διηγειρας · ὁτι μου τας της κατακρισεως ἀκανθας ἀπηρξω, και προς φυτουργιαν δια της θειας Ἀννης και του Ἰωακειμ καθωμαλισας· Εὐχαριστω σοι τῳ παιδευσαντι και παλιν προσλαμβανομενῳ σημερον. Τι ἀνταποδωσω σοι τῳ ἐν λυπαις με τικτειν δια την παραβασιν κατακριναντι, και παλ ν με δια τοκετου χαρας εὐαγγελιζομενῳ μηνυματα; Νυν ἐξ ἐμου ῥοδον προφανεν Μαριαμ, ἐν νηδυϊ της Ἀννες, την ἐκ φθορας μοι δυσωδιαν ἐκ μεσου ποιει, και την ἑαυτης εὐωδιαν διδουσα θειας ἀγαλλιασεως μεταδιδωσι. Δια γυναικος μεχρι του νυν ἀθλια ἐγω, δια γυναικος ἀρτι μακαρια γεγενημαι. Ὁρω γαρ τα δια των σων περι σου προφητων προλελεγμενα τελεισθαι ἀρχομενα, και το τελος τουτων ὁσον οὐπω κατιδειν ἀπεκδεχομαι. Νυν ἡ κατα τον Ησαϊαν παρθενος ἑξουσα σε τον Ἐμμανουηλ και τεξασα, της σης στειρας νηδυϊ φυτευεται, και ἡ κουφη νεφελη συνισταται και ἡ ῥαβδος ῥιζουσα ἐφ᾽ ἡ στηριχθησομαι· Νυν ἡ κατ᾽ ἀνατολας κατα τον Ἰεζεχιηλ βλεπουσα πυλη και μονῳ σοι τηρουμενη προς εἰσοδον κατασκευαζεται · Ἀρτι το κατα τον Δανιηλ ὀρος αὐξανεται, ἐξ οὑ συ ἀλαξευτος λιθος τμηθεις πασας τας ἀντιπαλους σοι βασιλειας ἐκ μεσου ποιησας την σην αἰωνιον δηλην ἀπεργασειας ἁπασιν.

a dar vanto di tale figliuola, nè tale figliuola s'aveva a gloriare d'altri genitori.

X. Di che fa maravigliosa festa e tripudia tutto quanto il creato, e la natura nostra prorompe in affetti di glorificazione a Dio così dicendo: Ti ringrazio, o Signore, che l'infruttuosa mia sterilità fecondasti di frutto, e nettatami delle selvatiche spine dalla condanna mia seminate e per lungo abuso cresciute, ora mercè di Anna e di Gioacchino t'inchini a domesticarmi con istudio d'amorevol coltura. Ti riferisco grazie, che dopo abbandonatami alla pena d'infiniti travagli, ti muovi ora a riguardarmi pietoso per tua. Quai lodi renderò io, mentre che avendomi condannata per la prima colpa a partorire con duolo, mi prometti al presente che sarà il mio parto accompagnato da gioja? Nel grembo d'Anna [15]) è già di me conceputa Maria, che in guisa di gentilissima rosa non solo torrà da me ogni malvagio e noioso alito della corruzione, ma gratissimo odore spandendo mi giocondera nel diletto d'una divina soavità. Io per una donna già fatta misera, ora per una donna son divenuta beata. I profeti ragionarono molti secoli addietro le tue grandezze con magnifici raziocinî, li quali cominciano ad avverarsi, ed oh! quanto tarda a me di giungere a vederne l'adempimento. Ecco quella Vergine d'Isaia che concepirà e partorirà te, o Emmanuele, formarsi entro l'utero della tua sterile, e un lieve vapore accogliersi in piccola nuvoletta, e mettere radici la verga che sarà mio sostegno. Ecco edificarsi la porta di Ezechiello di contro all'oriente, della quale a niuno giammai fuorchè solamente a te s'aprirà l'entrata. Ecco elevarsi al cielo il monte di Daniello, dalle cui cime tu pietra non mai recisa spiccandoti, e all'ingiù rovina menando tutte abbatterai e dissolverai in polvere le moli dei regni avversi, cosicchè solo il tuo regno erga il capo a stupor delle genti durevole e sempiterno.

*) Deest primi numeri sententia.

XI. *) Σημερον κατα τον μεγαν Πατριαρχην προς οὐρανον ἀπο γης ἡ κλιμαξ στηριζεται, δι ἡς ἐνωθηση μοι καταβας, και προς τον πατρικον με θρονον ἀναβιβασεις την ἐκπτωτον. Χαιρετε μετ' ἐμου σημερον και της Ἀννης της στειρας και του μεγαλου Ἰωακειμ οἱ προπατορες· Ἡ ὑμων ἀνακλησις ἠδη ἠγγικεν· ἡ ὑμων λυτρωσις πραγματευεται· ἡ ὑμας δια του ἑαυτης τοκετου της μακρας καταδικης ἐξαξουσα κτιζεται· Χαιρετε ἁπαντες δικαιοι, χαιρετε πατριαρχαι και προφηται ἁπαντες· το του γενους ἀνθος ἀνετειλεν, των ὑμετερων προῤῥησεων ἡ ἐκβασις ἠγγικεν· αἱ των ἐπαγγελιων προθεσμιαι πεπληρωνται· αἱ πολυμερως και καλυτροπως ὑμιν ἐκ θεου λαληθεισαι ὑποσχεσεις προς το περας κατηντησαν· οὐκ ἐτι ἐν ἐλπισι τα προσδεχομεπα, αὐταις ταις ὀψεσιν ὁρωμενα. Νυν χαιρει και ἡ οὐρανιος των ἁγιων ἀγγελων πληθυς· εἰσιν γαρ λιαν φιλανθρωποι τον ἰδιον δεσποτην μιμουμενοι. Εἰ γαρ ἐπι ἑπι ἑνι ἁμαρτωλῳ μετανοουντι χαιρουσι, πως της παντων ἡμων ἀνακλησεως οὐ χαρησουσι τα προοιμια βλεποντες; πως το καθαρωτατον του δεσποτου και παμβασιλεως Χριστου βλεποντες ἀνακτορον οὐκ ἀγαλλιασονται κατασκευαζομενον; πως τον φραγμον ὁρωντες λυομενον, και εἰς ἑν τα διεστωτα συνερχομενα, και μιαν ποιμνην ἁπαντας γινομενους Χριστου, οὐκ εὐφροσυνης και χαρας ὑπερ λογον και νουν πληρωθησονται;

XII. Χαιρετε και αὐτη ἡ συζυγια ἡ πανθαυμαστος, η πασι σημερον την χαραν προξενισασα. Χαιροις Ἀννα, χαρις

XI. Oggi sorge nel seno di Anna quel monte, in cui, conforme predisse Davidde, tu ti compiacerai di abitare, e un glorioso accrescimento n'acquista la davidica tribù. Oggi si dirizza dalla terra e al cielo appoggiasi saldamente la scala del patriarca Giacobbe, per la quale tu discendendo ti congiungerai meco, ed io sollevata per te della mia caduta salirò in tua compagnia fino al soglio del Padre. Però è giusto che veniate oggi a parte della mia immensa letizia voi, dai quali Anna e Gioacchino riconoscono la sfolgorata chiarezza di loro prosapia. Il tempo non è lungi che porrà termine al nostro esiglio, poichè a riconquistarvi la libertà bramosamente da voi sospirata è surta Colei la quale col frutto del ventre suo vi caverà d'una oggimai troppo lunga e stentata pena. Gioite, o antichi giusti, o patriarchi, o profeti. È spuntato [16]) il fiore della umana specie, i vostri oracoli non falliranno, le vostre predizioni avranno fra breve confermazione autentica dai successi, e Dio darà effetto a quelle promesse, onde ha obbligato a voi con tante e sì solenni formole la sua parola. Le cose aspettate e vedute lontano colla speranza, ora ci stanno presenti e in su gli occhi. Di che similmente gli angeli benedetti del cielo sfavillano in nuova luce di contentezza, come quelli che il Signor loro imitando amano gli uomini di finissima carità. Imperocchè se per la penitenza d'un peccatore solo menano incredibile festa, quanta non ne faranno eglino nel vedere questi fausti auspicî del comune rinnovellamento di tutti? Non contempleranno essi con compiacenza di squisito diletto il palagio purissimo, che s' apparecchia a Cristo per sontuosa stanza e bellissima abitazione? E mirando [17]) la divelta siepe ristorarsi, le dissipate cose insieme adunarsi, le sviate pecorelle a un medesimo ovile raddursi, come non esulteranno d'infinito giubilo, più là di quanto possa non dirò la lingua esprimere colle parole, ma la mente raggiungere col pensiero?

XII. Sopra ogni altro però tu ti rallegra, o santissima coppia, che sei dell' universale allegrezza prin-

ἡ ἔνθεος. Χαιροις ἡ στειρα ἡ παντως το γενος τῃ εὐπαιδιᾳ νικησασα. Χαιροις ἡ ἀνικμος γη και τον του θεου παραδεισον καταρδευσασα. Χαιροις ἡ ἀπαις δια την στειρωσιν, και την του θεου μητερα βλαστησασα. Χαιροις ἡ συλλαβουσα ἐν γαστρι την συλληψεσθαι μελλουσαν τον κατεχοντα το παν τῃ δρακι · Χαιρε την του οὐρανου και γης πλατυτεραν ἐν γαστρι σου χωρησασα. Χαιρε πασων ὑπεραυεστηκυια μητερων ἀτερ της σης θυγατρος · παρα ταυτης γαρ μονης τα πρωτα παρα πασιν τα πρωτα φερειν κεκωλυσαι · Χαιρε την ὀντως χαραν τῳ ἡμετερῳ γεννησασα, και την χαριν ως χαρις ἀντιπαρεισαξασα · Χαιροις μητηρ της του δεσποτου μητρος, και προμητωρ Χριστου, και των μητερων ἁπαντων το σεμνολογημα · Χαιροις ἡ το γηρας και της στειρωσεως ἀχθος ἀποθεμενη τῳ τοκῳ σου, και νεαν ἐνδυσαμενη δια του τοκου σου στολην θεοϋφαντον. Χαιροις και αὐτος Ἰωακειμ ἁπαντων δικαιων ἐγκαλλωπισμα, και πατερων ἐξαιρετον σεμνολογημα · Χαιροις ὁ πατηρ της μητρος του θεου, και προπατορ τουτου σεβασμιωτατε · Χαιροις ὁ καταξιωθεις κρατησαι χειρι την κρατησασαν τον ὡς θεον μηδαμου χωρητον · Χαιροις ὁ προς την των ἀγγελων ὁμοτιμιαν ἀναβιβασθεις δια της θυγατρος · Χαιροις ὁ παντας ὑπερακοντισας πατερας τους ἐπι γης · Χαιροις ο δια της ἐμμονου προσευχης προς θεον θυγατερα πασων ἐξ αὐτου και υἱῷ ὑπεραιρουσαν κληρωσαμενος, πλην και μονου του ταυτης υἱου και θεου · Χαιροις ὁ ἐν νομῳ δικαιοτατος, και ἐν τῃ χαριτι, ὡς και τας ταυτης ἀρχας δια της σης θυγατρος παρασχομενος, ἁγιωτατος · Ὑμεις του μεγαλου Ἀβρααμ και Σαῤῥας κατα την γεννησιν κρειττονες, ὁσον το ὑμετερον γεννημα του Ἰσαακ τιμιωτερον· ὑμεις Ῥεβεκκας και του ταυτης συνευνου κατα την γεννησιν και τ' αλ-

cipio e cagione. Godi, o Anna, che dalla Grazia togliendo il nome, tutta la tua stirpe avanzasti d'invidiata fecondità; godi arida terra, che irrigasti [18]) il delizioso giardino dell'Altissimo: godi o sterile, a cui la sterilità fruttò il merito di concepire la madre di un Dio; godi, o felice, poichè il tuo portato porterà quello, alla cui mano non è peso il reggere l'universo; godi lieta di chiuderti in grembo una prole, verso la cui grandezza ha il cielo e la terra angusti i confini; godi eccelsissima di tutte le madri, dalla sola tua figlia in fuori che tiene la cima di cotal vanto; godi tu che ne producesti il verace gaudio, che della legge osservantissima a noi la grazia secondo l'augurio del tuo nome apportasti, e fra le donne tutte sortisti l'alta ventura d'essere alla Madre di Dio madre, e consanguinea a Cristo; godi che spogliati i mesti panni della vecchiezza e della infecondità fosti per cagione del tuo gran parto di gaia, sfoggiata e ricchissima veste dal cielo adornata. E tu pure salve o Gioacchino, chiaro lume degli uomini giusti ed eletta gloria dei padri; salve o genitore della genitrice di Dio, al quale d'affinità sei congiunto; salve o degno d'abbracciare Colei, che strinse l'Immenso fra le braccie; salve sublimato dalla tua prole all' onore medesimo delle angeliche intelligenze; salve per avere colle tue suppliche una figliuola impetrata, che [19]) di magnificenza cede unicamente al suo figliuolo Dio; salve o venerando per santità non meno nella Legge che nella Grazia, della quale tu i novelli splendori consecrasti. Ambedue voi tanto maggiori siete di Abramo di Sara, quanto è Isacco minore della prole vostra; ambedue di Rebecca e del suo consorte più illustri nella dovizia de' meriti, ma soprattutto nella felicità della stirpe, che non può la Madre di Dio venire al paragone coll' uno de' loro figliuoli, e l'altro non si dee quì neppure nominare, come vaso ch' egli fu di malizia: ambedue oltre ogni dire più gloriosi di Giacobbe, che acquistò bella progenie di Rachele e di Lia; ambedue infinitamente più

λα ἀσυγκριτως ὑπερκειμενοι· ὅτι μηδε μητηρ θεου προς τον ἐκεινου παιδα συγκρινεσθαι πεφυκεν· οὐ γαρ ἐν τουτῳ τον ἐπι κακιᾳ καταταξαιμι περιβοητον. Ὑμεις Ἰακωβ τον πολυπαιδα μετα Λυας και Ῥακηλ, ὅσον οὐδ' εἰπειν ἐστιν, ὑπερηλασατε. Ὑπερτεροι κατεστητε σφοδρα Φενανας και Ἐλκανα· αὐτων των ὑμων συγγενων Ζαχαριου και Ἐλισαβετ, ὡς την των ἁπαντων δεσποτην τετοκυιαν γεννησαντες.

XIII. Ἀλλ' ὦ πατερες της θεοτοκου και θεου προπατορες ἁγιωτατοι, ὦ ἡμετερας φυσεως το γλυκυτατον παρηγορημα, ὦ νομου και χαριτος ἱερωτατα και σεβασμια ἀκροθινια, νεμοιτε πασιν ἡμιν εἰρηναιαν καταστασιν· παυσατε το φρυαγμα των ἐθνων· και εἰς ὕψος τουτων αἰρομενον καταβαλλετε τενοντα, και την ἐπηρμενην αὐτων ὀφρυν κατασπασατε, την αὐτων καθ' ἡμων τεθηγμενην μαχαιραν ἀμβλυνατε· ἐπαραι Χριστον τας χειρας ἐπι τας ὑπερηφανιας αὐτων ἱκετευσατε· και μη ἐπι πλειον ἐασητε ημας ληϊζεσθαι καθαπερ τινα χορτον ὑπο της ἀνοσιου και μιαιφονου αὐτων χειρος· μη λυσσων βαρβαρος ἐπελθῃ καθ' ἡμων ἐπανατεινων ἀσπιδας, και μαχαιραν, και τοξας, και δορατα· και μη ἐπι πλειον ἡμιν ἐπιχαρειησαν οἱ ἐχθροι ἡμων. Ὁρατε ὅσους και οἱους ἐλεεινως κατηκοντισαν· ὁρατε ὡς ἀριθμου κρειττονων ἐκχεαντες αἱματα τοις θηριοις της γης και τοις πετεινοις του οὐρανου θοινην ἀθαφους κατελιπον· και ἡλιῳ, και ἀστροις, και χειμωνι, και θερει, και τοις ὑπολειφθεισιν ἀνθρωποις ἐλεεινον και πολλων δακρυων ἀξιον προσεθηκαν θεαμα.

XIV. Ἀλλα διεγερθητε, σπευσατε, κινησατε προς την πρεσβειαν την ὑμων θυγατερα και μητερα θεου· οὐ γαρ παροψεται γονεους καθικετευσοντας· ὁμου δε προς τον ταυ-

avventurosi d'Ellana e di Fenenna e degli stessi cognati vostri Zaccaria ed Elisabetta, mercecchè generaste Lei, la quale generò il Creatore del mondo.

XIII. Ora, o genitori della genitrice di Dio e santissimi progenitori di Dio, dolcissimo conforto della nostra natura, della legge per Mosè promulgata e della Grazia dal Vangelo recata ammirevoli altezze e fondamenti augusti, voi priego e strettamente supplico, che vogliate riducere le travagliate cose nostre a meno fortunoso stato. Infrenate la ferocità delle genti, fiaccate il ventoso orgoglio, reprimete la contumace oltracotanza, spezzate le spade che minacciano di ficcare nelle nostre gole e nei nostri petti le micidiali punte. Non piaccia a Dio che seguiti di vagare libera e sciolta tanto inumana baldanza, e che in guisa di vile fieno abbiamo noi ad essere recisi da sozze e scellerate mani. Deh! che non ci udiamo più oltre dintorno il pauroso fragore delle armi, degli scudi, delle saette, delle aste, che non ci veggiamo correre addosso l'arrabbiato furore de' barbari, che l'insolente nemico non rida ai nostri pianti e non insulti per ischerno ai nostri mali. Mirate quante e quali vite sono state dal crudele ferro mietute, mirate come orbata è questa contrada de' suoi migliori abtatori, li cui cadaveri sanguinenti e insepolti, in pasto lasciati agli avvoltoi ed alle belve, e al sole, alle stelle, al vento esposti e alla pioggia offrono agli occhi de' riguardanti un miserando e lacrimevole spettacolo.

XIV. Oh sì levatevi dunque, in nostro aiuto accorrete, dalla figliuola vostra santissima e dal Figliuolo di Lei verace Dio implorate pietoso ristoramento alle

της υἱον και θεον και ὑμετερον τον κατα σαρκα ἀπογονον. Ἰσμεν γαρ ὡς οὐδαμως μητρος και προπατορων ἐκκρουσηται δεησιν· ἀλλα εἰσακουσει τε και σωσει ἐκ των ἐπεμβαινοντων ἡμιν ὁρατων και ἀορατων πικρως δυσμενων, και το λοιπον της ἡμετερας ζωης εὐσταθες και εἰρηνικον και ἀταραχον διατηρησει λειψανον. ὁτι θεος αυτος ἐλεους και φιλανθρωπιας ἐστιν, και αὐτῳ πασα δοξα, τιμη και προσκυνησις, συν τῳ ἀναρχῳ αὐτου Πατρι, συν τῳ παναγιῳ και ἀγαθῳ και ζωοποιῳ αυτου Πνευματι, νυν και ἀει. και εἰς τους αἰωνας των αἰωνων. Αμην.

Τελος.

comuni calamità. Quella s' inchinerà presta alle domande de' genitori suoi, questi non dinegherà grazia alle preghiere della Madre e alle suppliche d'interceditori tanto suoi propinqui; dondechè noi campati da tutti i nemici, che o invisibili c'insidiano le anime o visibili ci minacciano i corpi, meneremo il tempo che al viver nostro ancora avanza, tranquillo e riposato. Imperocchè egli è Dio di bontà e di clemenza, al quale sia lode, onore e adorazione, del pari che al Padre non avente principio, e al santo, ottimo e vivifico Spirito ora e sempre e ne' secoli de' secoli.

Così sia.

TESTIMONIUM EXSCRIPTORIS APPOSITUM EXEMPLARI ILLI UNDE EXEMPLAR HOC EXSCRIPTUM.

Requisitus ab Adm. Rdo P. Antonio Maria Portio Soc. Iesu, Ego infra-scriptus, graecae linguae lector et bibliothecae huius Magni et Regii Monasterii SSmi Salvatoris Messanae in lingua Phari custos, annuente Rmo P. D. Basilio de Neapoli eiusdem Monasterii Abbate, exscripsi ex Codice XLII dictae bibliothecae superiorem orationem S. P. N. Petri episcopi Argorum.

Est autem Codex huiusmodi integer membranaceus in folio maiori, graeco N.o MB, idest XLII, obsignatus, tabulisque leucophea pelle a tergo con tectis coopertus: caeterum qui illum scripsit Darius *αvηγυρικον* vocat.

Totum hoc opus Panegiricon duobus voluminibus eiusdem ferme molis et characteris continetur: in priori igitur volumine quod festivitates exhibet ab kal. Sept. usque ad III. non. Aprilis, V idus Decembris habetur dicta oratio S. P. N. episcopi undecim ferme columnis comprehensa, incipit ab ultimis decem lineis ultimae columnae quaternionis XX, usque ad lineam xxx columnae xi quaternionis sequentis. Singulae vero columnae lineis xliii ut plurimum concluduntur.

Scriptum est autem Codex hic anno VI ∞ DCCCXVI ab O. C. ut Graeci calligraphi supputant, id est anno Incarnationis dominicae MCCCVIII; etenim in fine Codicis legitur nota haec:

Ἐτελειωθη το παρον πανηγυρικον δια χειρος του ἁμαρτωλου Δανιηλ και σκευωφυλαξ (sic) *της μεγαλης μανδρας του Σωτηρος ἀκρωτηριου Μεσσηνης · Μηνι σεπτεμβριῳ · εἰς β ἡμερα σαββατου · ὡρα θ' ἐτους ϛωις' ἰνδικτου ϛ · Εὐχεσθε και μη καταρασθε, ὁτι ὁ γραφων παραγραφει.*

In quorum fidem Pridie non. Febr. an Dom. MDCCXLV Benedictus Monaldinius Hieromonachus

Ita est. Abbas Basilius de Neapoli

✠ Locus Sigilli

Ex MS. Codice graeco-latino, qui asservatur in publica bibliotheca collegii maximi panormitani Societatis Iesu, exscriptum est superius exemplar, omissa versione latina.

Panormi Kal. Ianuar. 1853.

Bibliothecae Praefectus

Petrus Scarlata e Soc. Iesu.

NOTE

---

1) Si propone adunque il concepimento della Vergine come *segno della nostra riconciliazione con Dio.* Ma non potrebbe stimarsi tale, se la Vergine pel peccato fosse stata conceputa *figlia dell' ira*; essendo tra loro opposte *riconciliazione ed ira.*

2) Il *ravvivarsi* di nostra natura manifestamente significa, che essa non incontrò la morte nel concepimento di Maria; e l'opporsi Maria alla natura nostra *alienata* da Dio, è argomento che ella fu mai sempre con Dio congiunta.

3) Dall' odierna gioia dei progenitori pel concepimento di Maria si toglie prova non oscura che ella fu scevra dalla penale sentenza comune a tutti i figli di Adamo: *tu in polvere tornerai.*

4) La frase, *ἀρτι το εὐωδεστατον ῥοδον ἐν ἀκαρπῳ φυτευομενον ἀρουρᾳ*, di per se chiaramente dimostra l'origin prima della Vergine. Ora in questa prima origine la Vergine è detta *rosa vaghissima ed odorosissima*, la quale imagine non le potrebbe convenire, se pure fosse stata guasta per la colpa di origine.

5) Sono queste parole, le quali come dichiararo la Vergine esente dall' antica prevaricazione, così le ascrivono il singolar pregio d'aver cooperato all' universale riscatto.

6) Si considerino le due metafore *di fondamento e di purissimo tempio*, e quindi pongasi mente che come la prima esprime l'origine di Maria, così l'altra la dimostra nella sua origine *purissima.*

7) Fu pertanto Maria nelle sue origini *θειος παραδεισος*, e però non compresa nella sentenza che noi tutti nei progenitori ebbe cacciati dal paradiso primiero.

8) Metafora bellissima che ne dipinge la Vergine non mai offesa dal verno della colpa.

9) Le tenebre ed il gelo cominciarono colla colpa; se dunque col concepimento della Vergine andarono di conserto la luce ed il calore è manifesto che essa non fu partecipe della colpa.

10) Era *serva* la nostra natura pel peccato, ma al concepir di Maria respirò alla pristina *ingenuità*. Non fu dunque Maria sullo spuntare nel seno di Anna schiava della colpa.

11) La frase per la quale siamo detti *δια την Ἀννην και τον Ἰωακειμ πλουτουντες*, si riferisce alla generazione di Maria. Ora si afferma che pel mezzo di Gioacchino e di Anna siamo stati arricchiti di tal Vergine e di tal Signora, cui si ascrive l'essere *παναμωμος*. Adunque il concepimento di Maria fu *παναμωμος immacolatissimo.*

12) Qui oltre la festa della Concezione ne abbiamo espresso evidentemente l'oggetto, che è la Vergine *conciliatrice di nostra libertà, non mai sedotta dal serpente, nè mai in signoria della colpa e di Satana.*

13) Della biografia di Gioacchino e di Anna non meno che dell' infanzia della Vergine, oltre le orazioni del Damasceno, di Giorgio di Nicomedia, di Fozio e di altri assai, possono consultarsi gli evangeli apocrifi pubblicati dal Fabricio, da Tilo e da Tischendorf.

14) Si notino quattro verità, delle quali due vengono istoricamente indicate, e due conseguentemente dedotte. Delle indicate la prima è: la Vergine essere stata scelta a ministra dell' incarnazione: la seconda doversi essa considerare come divisa e quasi separata dall' uman genere macchiato e guasto per la colpa. Alle dedotte appartiene in prima che la Vergine dovette essere in purità superiore ad ogni creatura; ed appartiene quindi, che la misura di tale eccellenza vuol essere tolta dalla sua singolare e naturale intrinsechezza coll' Unigenito di Dio. Ora siffatte verità non meno *negativamente* che *positivamente* dimostrano il suo immacolato concepimento.

15) Qui Maria si considera in quanto è a noi consustanziale ed in quanto da noi si distingue ed è diversa: in quanto a noi consustanziale si dice con-

ceputa nel seno di Anna della nostra natura: ed in quanto da noi diversa, si presenta conceputa quasi rosa fragrante di rimpetto alla nostra natura per la corruzione del peccato fetente.

16) Il chiamarsi Maria nel suo concepimento το του γενους ἀνθος, *fiore del nostro genere*, non può accordarsi alla sua originale corruttela, e però è prova splendida della sua originale innocenza.

17) Se l'augusta Vergine fu nel suo concepimento proemio di nostra redenzione, palazzo purissimo dell' Unigenito, e vincolo rannodatore delle parti fra loro dissidenti, non potè in guisa alcuna soggiacere a schiavitù, esser macchiata per colpa, ed appartenere al novero dei dissidenti.

18) Si noti ripetersi la frase, colla quale la Vergine nel suo concepimento è chiamata ὁ του Θεου παραδεισος, *paradiso di Dio*.

19) Questo principio e capo di dottrina comune presso i padri contiene in guisa da non dubitarne la prerogativa dell' immacolato concepimento.